# TEZAUR LITURGIC

**2 NOIEMBRIE**

**APOSTOLOS PAPAHRISTOUS**

# SLUJBA SF.MUCENICI TEODOR,LAMPROS ŞI ETERIE DE LA VRAHORIA

**ATENA,2020**


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 02 ΝΟΕΜΒΡΙΟΣ ΛΑΜΠΡΟΥ,ΘΕΟΔΩΡΟΥ & ΕΤΕΡΟΥ ΑΓΝΩΣΤΟΥ ΝΕΟΜΑΡΤΥΡΩΝ ΕΝ ΒΡΑΧΩΡΙΩ ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Ἀποστόλου Παπαχρήστου**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

*Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια δ΄. Ἦχος πλ. Β΄. Τριήμερος ἀνέστης.*

Συνέλθωμεν προθύμως πιστοί, καὶ πόθῳ ἀνυμνήσωμεν, τοὺς γενναίους στρατιώτας τοῦ Χριστοῦ, Θεόδωρον καὶ Λάμπρον, σὺν Ἄλλῳ κατὰ χρέος, πρεσβεύουσιν ὑπὲρ ἡμῶν γὰρ Χριστῷ.

Ὡς ἄρνες τοῦ Χριστοῦ λογικοί, ὡς θύματ' ἐθελόθυτα, τῷ τυθέντι ὑπὲρ πάντας Ἰησοῦ, προσήχθητε ἐμφρόνως, καὶ νῦν Αὐτῷ συνόντες, ἀεὶ πρεσβεύετε σωθῆναι ἡμᾶς.

Ὡς ἄτιμοι ὢ δοῦλοι Χριστοῦ, προσήχθητε ἀγχόνῃ πικρᾷ, τῷ Χριστῷ, ὑπὲρ πατρίδα καὶ τιμὴν προκρίναντες συνεῖναι, διὸ ὑμῖν βοῶμεν, μνήσθητε τῶν μνημονευόντων ὑμᾶς.

Πολλαῖς ἐν ἁμαρτίαις πιστοί, καὶ νόσοις οἱ ὀχλούμενοι, τῷ ναῷ τῶν Ἀθλοφόρων εὐσεβῶς, προσέλθωμεν αἰτοῦντες, αὐτοῖς λαβεῖν τὴν λύσιν, καὶ παραδείσου τὴν κατοίκησιν.

*Δόξα. Ἦχος β΄.*

Ὅτε οἱ Ἀγαρηνοί, σεβάσμιοι Μάρτυρες, δεδεμένους πρὸς ἀγχόνην ὑμᾶς ὡδήγουν, ἐβοᾶτε πρὸς αὐτούς. Τί τὸ κακὸν ἐποιήσαμεν, ἵνα φρικτῇ ἀγχόνῃ θανατωθῶμεν; Μὴ φόνον ἐπράξαμεν; Μὴ εἰς κλοπὴν περιεπέσαμεν, μη τινα ἠδικήσαμεν; Ἐπείπερ μὲ γνήσιοι ἡμεῖς δοῦλοι Χριστοῦ ἐσμέν, τοῦ τὰ σύμπαντα τῷ λόγῳ ποιήσαντος καὶ ὑπὸ τῶν Προφητῶν προκηρυχθέντος, τῷ δὲ ψευδοπροφήτῃ ὑμῶν σέβας μὴ ἀπονέμοντες, διὰ τοῦτο ἡμᾶς σήμερον ἀγχόνῃ παραδίδετε παράνομοι; Λοιπὸν ποιήσατε ἡμῖν ὡς βούλεσθε, ἵνα ταχὺ πορευθῶμεν πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν παρέχοντα πᾶσι τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου...

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Δεῦτε τὴν ἱεράν, τῶν Αθλοφόρων μνήμην, τελέσωμεν ὑμνοῦντες, Χριστὸν τὸν δόντα τούτους, φρουροὺς ἡμῖν καὶ φύλακας.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Ἔφατε Ἀθληταί, κριταῖς ὑμῶν ἀνόμοις, ἡμῖν Χριστὸς τὸ ζῆν μέν, ἀποθανεῖν δὲ κέρδος, πράξατε νῦν ὡς βούλεσθε.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίρετε Ἀθληταί, Θεόδωρε τρισμάκαρ, σὺν Ἄλλῳ πανολβίῳ, θεόφρον Λάμπρε πλάνην, ἐχθροῦ οἱ καταλύσαντες.

*Δόξα. Τριαδικόν.*

Λόγου Θεοῦ Πατήρ, Πατρὸς ἀνάρχου Λόγε, καὶ θεῖον Πνεῦμα σῷζε, Ἕνα Θεὸν τοὺς πίστει, ἀεὶ Σὲ καταγγέλοντας.

*Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε πηγὴ χαρᾶς, φωτὸς λυχνία χαῖρε, ζωῆς δὲ πάσης Μήτηρ, Θεόνυμφε Παρθένε, Μαρία πάντων Ἄνασσα.

*Ἀπολυτίκιον εἰς τὸν Μέγαν Ἑσπερινόν καὶ Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

*Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὴν α΄ στάσιν τοῦ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ παρόντα προσόμοια γ΄, δευτεροῦντες αὐτά. Ἦχος δ΄. Ὁ ἐξ Ὑψίστου κληθείς.*

Τὸ πᾶσαν κτίσιν κινοῦν καὶ ἁγιάζον, τὸ Πνεῦμα τὸ Ἅγιον ἡμᾶς συνήγαγε, τοῦ καταστέψαι ἐν ᾄσμασιν, αὐτοῦ τοὺς ὄντως, στεφανηφόρους καὶ θείους Μάρτυρας, τοὺς κόσμον μισήσαντας καὶ τὰ ἐν κόσμῳ τερπνά, καὶ τὸν Χριστὸν τὸν ὡς ἄνθρωπον ἡμῖν ὀφθέντα, ὑπὲρ ψυχὴν Αὐτὸν ἀγαπήσαντας, ᾧ παρεστῶτες ὡς ἀήττητοι, μαρτυρικαῖς καλλοναῖς ἀστραπτόμενοι, δυσωποῦσιν ἀπαύστως, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὑμεῖς πανεύφημοι Μάρτυρες Κυρίου, τοῖς λόγοις ἑπόμενοι Παύλου τοῦ μάκαρος, λέγοντος στέφος οὐ κέκτηται παρὰ Κυρίου, εἰ μὴ νομίμως ἀθλήσει ἄνθρωπος, διὸ καὶ νομίμως οὖν σοφοὶ ἠθλήσατε, καὶ παρανόμων καθείλετε ἄθεον κράτος, καὶ θείου νόμου στέφος ἐδέξασθε, παρὰ τοῦ πάντων βασιλεύοντος, νομοδότου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ᾧ πρεσβεύσατε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δεῦτε οὖν πάντες τιμήσωμεν προθύμως, Λάμπρον τὸν ἀοίδιμον σοφὸν Θεόδωρον, σὺ τρίτῳ πάνυ μιμούμενοι αὐτῶν τὸν βίον, καὶ ὡς ἐμπόρους αὐτοὺς ζηλώσωμεν, οὗτοι γὰρ οἱ Ἅγιοι καλῶς εἰργάσαντο, καὶ μαργαρίτην εὑράμενοι Χριστὸν τὸν Ἕνα, ἐν τῇ καρδίᾳ αὐτῶν ἐφύλαξαν, ᾧ παρεστώτες ἱκετεύουσι, λυτρωθῆναι παθῶν καὶ κολάσεως, τοὺς Βραχωρίον πάντας κατοικοῦντας καὶ περίχωρα.

*Δόξα. Ἦχος βαρύς.*

Δεῦτε, ἅπαντες φαιδρῶς πανηγυρίσωμεν τῶν Ἀθλοφόρων τοῦ Χριστοῦ, Θεοδώρου τε καὶ Λάμπρου σὺν Ἄλλῳ Ἀνωνύμῳ τὴν σεβάσμιον μνήμην, οὗτοι γὰρ στεῤῥῶς ἠγωνίσαντο μέχρι θανάτου κατὰ τῆς ἁμαρτίας, καὶ Χριστοῦ τὸ ὄνομα γενναίως ἐβάστασαν ἔναντι τυράννων ἀνόμων, κρεμασθέντες δὲ τῇ ἀγχόνῃ, μιμηταὶ ἐγένοντο τοῦ δι’ ἡμᾶς ἐπὶ ξύλου κρεμασθέντος καὶ τὴν γῆν ἐν ὕδασι κρεμάσαντος Θεοῦ ἡμῶν, οὕς ὡς προστάτας ἡμῶν καὶ φύλακας ἱκετεύσωμεν λέγοντες. Πανεύφημοι Μάρτυρες, οἱ παρεστῶτες Χριστῷ τῷ Θεῷ, πρεσβεύσατε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Μήτηρ μὲν ἐγνώσθης ὑπὲρ φύσιν Θεοτόκε, ἔμεινας δὲ Παρθένος ὑπὲρ λόγον καὶ ἔννοιαν, καὶ τὸ θαῦμα τοῦ Τόκου Σου ἑρμηνεῦσαι γλῶσσα οὐ δύναται, παραδόξου γὰρ οὔσης τῆς συλλήψεως Ἁγνή, ἀκατάληπτός ἐστιν ὁ τρόπος τῆς κυήσεως, ὅπου γὰρ βούλεται Θεός, νικᾶται φύσεως τάξις. Διὸ σὲ πάντες Μητέρα τοῦ Θεοῦ γινώσκοντες, δεόμεθά σου ἐκτενῶς. Πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμᾶς.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Καὶ τὰ Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα. (Κεφ. Μγ΄9-14).*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾿ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεὸς ὅτι ἀπ᾿ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος.

Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. Γ΄. 1-9).*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δε εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*
*(Κεφ. Ε΄. 15-23 & ΣΤ΄, 1-3).*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ

αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαῖαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέξει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ συνέτε· μάθετε, δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Εἰς τὴν Λιτήν. Ἦχος α΄. Ἰδιόμελα.*

Ἀγαλλιάσθω σήμερον ἡ πόλις Βραχωρίου, Χριστὸν ἀπαύστως εὐχαριστοῦσα, τὸν δόντα ὡς πύργους ἀσφαλεῖς καὶ τείχη ἀπόρθητα κατ’ ἐχθρῶν ὁρατῶν τε καὶ ἀοράτων, τοὺς τόπους τῆς ἀθλήσεως τῶν Μαρτύρων Αὐτοῦ. Οὗτοι γὰρ οἱ τόποι φοβεροὶ ἀνεδείχθησαν ἡμῖν, ὡς πάλαι τοῦ ἐνυπνίου τοῦ Ἰακὼβ

ὁ τόπος, ὥσπερ ἐκεῖνος ἡγιάσθη διὰ τῆς κλίμακος, οὕτω καὶ αὐτοὶ τῶν Ἀθλοφόρων τῇ ἀθλήσει. Διὸ τὴν χάριν τῶν τοῦ Χριστοῦ Μαρτύρων, ὡς νοητὴν οὐράνιον κλίμακα ἐπιγνόντες, στῶμεν εὐλαβῶς ἐπὶ τῆς θείας αὐτῆς βάσεως τῷ Σωτῆρι κράζοντες· Φιλάνθρωπε Κύριε, ταῖς λιταῖς Θεοδώρου σὺν Ἑτέρῳ καὶ Λάμπρου, σῶσον τὴν πόλιν Σου.

*Ἦχος β΄.*

Ὅτε οἱ Ἀγαρηνοί, σεβάσμιοι Μάρτυρες, δεδεμένους πρὸς ἀγχόνην ὑμᾶς ὡδήγουν, ἐβοᾶτα πρὸς αὐτούς: Τί τὸ κακὸν ἐποιήσαμεν, ἵνα φρικτῇ ἀγχόνῃ θανατωθῶμεν; Μή φόνον ἐπράξαμεν; Μή εἰς κλοπὴν περιεπέσαμεν; Μή τινα ἠδικήσαμεν; Ἐπείπερ μὲν γνήσιοι ἡμεῖς δοῦλοι Χριστοῦ ἐσμέν, τοῦ τὰ σύμπαντα τῷ λόγῳ ποιήσαντος καὶ ὑπὸ τῶν Προφητῶν προκηρυχθέντος, τῷ δὲ ψευδοπροφήτῃ ὑμῶν σέβας μὴ ἀπονέμοντες, διὰ τοῦτο ἡμᾶς σήμερον ἀγχόνῃ παραδίδετε παράνομοι; Λοιπὸν ποιήσατε ἡμῖν ὡς βούλεσθε, ἵνα ταχὺ πορευθῶμεν πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν παρέχοντα πάσι τὸ μέγα ἔλεος.

*Ἦχος γ΄.*

Ὑμεῖς θεομακάριστοι Ἅγιοι, τοῦ Σταυροῦ τῷ σθένει ῥωννύμενοι, τοὺς πόνους καὶ βασάνους ὡς ὄναρ ἐλογίσασθε. Διὸ ἐν φυλακῇ ὑπάρχοντες καὶ ποικίλαις κολάσεσι προσομιλοῦντες, ὡς ἐν ἀνέσει τοῦ Παραδείσου εἶναι ἐνομίζετε, καὶ τὸν Βελίαρ τῇ ἀγχόνῃ καθελόντες, βασιλικῷ νῦν διαδήματι στεφθέντες Χριστῷ παρίστασθε, ᾧ διηνεκῶς αἰτεῖτε ῥύσασθαι

πάσης αἱρεσεως, κινδύνου καὶ πολέμου τὸ Βραχώριον, καὶ πάντας ἡμᾶς μετὰ τῶν Ἁγίων Αὐτοῦ συναριθμῆσαι, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

*Ἦχος δ΄.*

Ὢ τοῦ παραδόξου θαύματος! Πῶς οἱ τῇ φύσει ἀσθενεῖς ὑπάρχοντες ἄνθρωποι, τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ σκότους ὡς ἄνδρα ἕνα ἐτροπώσαντο. Ἐνδεδυμένοι γὰρ ἦσαν τῷ κράτει τῆς ἰσχύος τοῦ Κυρίου, καὶ τὴν πανοπλίαν Αὐτοῦ ἀναλαβόντες, την τε ὀσφὺν αὐτῶν ἐν ἀληθείᾳ περιζωσάμενοι, ὡς τεῖχος μὲν ἄῤῥηκτον τὴν πίστιν ἔσχον, τὴν δὲ προσευχὴν ὡς θώρακα καὶ μάχαιραν δίστομον τὴν δύναμιν τοῦ Πνεύματος. Διὸ ὡς κορωνίδα τῶν Ἀθλητῶν τὸν κλεινὸν Θεόδωρον, σὺν ἐνδόξῳ Ἄλλῳ Ἀνωνύμῳ, καὶ τὸν λαμπρότατον ὡς παμφαῆ ἀστέρα Λάμπρον, τοῖς ἄνθεσι τῶν ᾀσμάτων στέφοντες ἐκβοήσωμεν· στεφανηφόροι Μάρτυρες πρεσβεύσατε τῷ στεφανώσαντι ἡμᾶς Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος πλ. Α΄.*

Δεῦτε φιλεόρτων τὸ σύστημα, πνευματικῶς συνελθόντες τὰ μυρίπνοα τοῦ Παραδείσου ἄνθη, τοῦ Χριστοῦ τοὺς Μάρτυρας, τὸν Θεόδωρον καὶ Λάμπρον σὺν ἐνὶ ἔτι Ἄλλῳ, ἐπαξίως τιμήσωμεν. Οὗτοι γὰρ τὴν τοῦ Πέλοπος νῆσον πατρίδα σχόντες, ἐμπορευόμενοι εις Ἰωάννινα ἀνέβησαν. Οἴκαδε οὖν ἐπιστρεφόντες καὶ ἐκ Βραχωρίου διερχόμενοι, θείᾳ βουλήσει ὑπὸ τυράννων ἀνόμων συνελήφθησαν. Ὅθεν καὶ τὸ δόγμα

αὐτῶν θαρσαλέως ἐλέγξαντες, καὶ ἀλλήλους στηρίζοντες, ἐκ Πνεύματος φωτιζόμενοι ἔλεγον: Μὴ οὖν ἀδελφοὶ τὰ αἰώνια διὰ τὰ πρόσκαιρα ἀπολέσωμεν, στῶμεν καλῶς καὶ Χριστὸν μὴ προδώσωμεν ὡς ὁ Ιούδας τοῖς ἀνόμοις. Διὸ καὶ εἰς φυλακὰς δεδεμένοι ῥιφθέντες, αἰκισμοὺς πεῖνάν τε καὶ δίψαν, καὶ ποικίλας κολάσεις ἀνηλεῶς βαλλόμενοι ὑπέμειναν, καὶ τρισὶ τῆς πόλεως σημείοις ἀπαγχονισθέντες, αὐτῆς μὲν τοῖς αἵμασιν ἡγίασαν, τοὺς οὐρανοὺς δὲ τοῖς πνεύμασιν ηὔφραναν, ἐν οἷς χοροβατοῦντες ὑπὲρ εἰρήνης τοῦ κόσμου Χριστῷ πρεσβεύουσι, καὶ σωτηρίας τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Μακαρίζομέν Σε Θεοτόκε Παρθένε…

*Εἰς τὸν Στίχον. Ἦχος πλ. Α . Χαίροις ἀσκητικῶν.*

Χαίροις, τῶν Ἀθλητῶν ἡ τριάς, οἱ τῆς Τριάδος τῆς Ἁγίας ὑπέρμαχοι, τυράννων μὴ πτοηθέντες πολυειδεῖς ἀπειλάς, καὶ δεινῶν δαιμόνων τὰ φρυάγματα, δεσμὰ ὑπεμείνατε, φυλακάς τε μακάριοι, πεῖναν καὶ δίψαν, αἰκισμούς τε καὶ μάστιγας, καὶ τὸν θάνατον, δι᾽ ἀγχόνης τὸν ἄδικον, ἄνθη τὰ εὐωδέστατα, τῆς πίστεως φύλακες, δόξα Μαρτύρων καὶ κλέος καὶ τῶν πιστῶν ἡ ἀντίληψις, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν αἰτεῖσθε τὸ μέγα ἔλεος.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Δεῦτε, περιχαρῶς ἀδελφοί, οἱ τὸν Βραχώριον οἰκοῦντες καὶ ἅπαντες, προσέλθωμεν ἐγκωμίων ἄνθη

κροτοῦντες χερσί, καὶ τὰς θείας κάρας καταστέψωμεν, σὺν Ἄλλῳ τοῦ Λάμπρου τε, Θεοδώρου καὶ γάρ εἰσιν, ἡμῶν προστάται καὶ πιστοὶ ἀντιλήπτορες, καὶ ἐν πίστει νῦν, πρὸς ἡμᾶς ἐκβοήσωμεν: ῥύσασθε ἐξ αἱρεσεων, δεινῶν ἡμᾶς Ἅγιοι, ἀῤῥωστημάτων πολέμων, μνήμην ὑμῶν τοὺς γεραίροντας, Χριστὸν ἐξαιτοῦντες, καταπέμψαι ἡμῖν πάσι τὸ μέγα ἔλεος.

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Δεῦτε, ἡ τῶν ἐμπόρων πληθύς τοὺς ἀρχηγοὺς καὶ ποδηγοὺς ἡμῶν ᾄσατε, Θεόδωρόν τε καὶ Λάμπρον, σὺν τρίτῳ ἅμα πιστῶς, καὶ αὐτῶν τὸν βίον ἐκμιμήσασθε, αὐτοὶ γὰρ ὡς ἔμποροι, κατενόησαν ἄριστα, τὶ τὸ συμφέρον τὸ τῷ ὄντι ὠφέλιμον, καὶ τοῦ ἄφρονος, ἀπεβάλοντο μάταιον, ὅθεν καὶ πλοῦτον ἄφθαρτον, ἐκ γῆς ὥσπερ γέγραπται, πρὸς οὐρανοῦ ἀποθήκας ἐν ἀσφαλείᾳ ἐκόμισαν, καὶ νῦν πλοῦτον σχόντες, ἀρετῶν Χριστῷ αἰτοῦσιν ἡμῖν τὸ ἔλεος.

*Δόξα. Ἦχος πλ. Δ΄.*

Τῆς Πελοποννήσου τοὺς βλαστούς, καὶ Βραχωρίου πολιούχους, χαρμονικῶς ἐγκωμιάζοντες πιστοὶ ἐκβοήσωμεν: χαίρετε νοεροὶ τῆς πίστεως ἀδάμαντες, οἱ τῶν Ἀγαρηνῶν θρασυστομίαν ἐλέγξαντες καὶ ταύτην ὡς φλήναφον καταφρονήσαντες. Χαίρετε οἱ τῆς Τριάδος ἰσάριθμοι, οἱ τῇ ἀθλήσει ὑμῶν τὰ πέρατα τῆς γῆς φωτίσαντες καὶ τὸν τῆς κτίσεως ἀποστάτην, δεινὸν κοσμοκράτορα ἐκδιώξαντες, καὶ νῦν πρεσβεύσατε

Χριστῷ, ὅπως ἵλεως γένηται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε...

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Τριάδος ἰσάριθμοι τῆς ὑπερθέου σοφοί, ὑπάρχοντες ὤφθητε ἐν Βραχωρίῳ στεῤῥᾷ, ἀθλήσει φωτίζοντες, πάντας τοὺς ὡς ὁπλίτας τοῦ Χριστοῦ ὑμᾶς γνόντας, Λάμπρε σὺν Θεοδώρῳ καὶ ἑνὶ Ἄλλῳ πάλαι, καὶ νῦν ἐν παῤῥησίᾳ Χριστῷ, πρεσβεύσατε σωθῆναι ἡμᾶς.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον...

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ στιχολογίαν,*

*κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.*

Κατεπλάγησαν πιστοί, πάντες Ἀγγέλων οἱ χοροί, τῇ ἀνδρείᾳ τῇ ὑμῶν, ἥν ἐπεδείξατε στεῤῥῶς, κατὰ ἐχθρῶν ἀοράτων καὶ ψυχοφθόρων, πῶς σώματι φθαρτῷ, αὐτοὺς ᾐσχύνατε, καὶ δόξης κοινωνοί, ἀφθάρτου ὤφθητε, τῇ πανσθενεῖ δυνάμει τοῦ Κυρίου, τοῦ τοὺς βροτοὺς ἀφθαρτήσαντος, ᾧ δυσωπεῖτε τῷ κόσμῳ δοῦναι, ἀφθαρσίαν καὶ ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Κατεπλάγησαν Ἁγνή, πάντες Ἀγγέλων οἱ χοροί, καὶ ἠπόρουν μυστικῶς, ὁρῶντες πάντα τὰ ἐν Σοί, πῶς εἰς τὸ εἶναι τὰ σύμπαντα ὁ ποιήσας, ὡς ἔμβρυον ἐν Σοί, κυοφορεῖται σεμνή, ὁ Ἄναρχος Θεός, ἀρχὴν λαμβάνει ἐκ Σοῦ, καὶ ὡς Υἱὸς ἀνθρώπου ὁρᾶται, ὁ Βασιλεὺς καὶ Θεὸς ἡμῶν, διὸ Σοὶ χαῖρε Ἁγνὴ βοῶμεν, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν.

*Μετὰ τὴν β΄ στιχολογίαν,*
*κάθισμα. Ἦχος α΄. Ταν τάφον Σου Σωτήρ.*

Ἐχθρὸς ὁ πονηρὸς καὶ ἀρχέκακος ὄφις, νικῆσαι βουληθεὶς τοῦ Χριστοῦ τοὺς ὁπλίτας, ὁρᾶται παιζόμενος ὑπ᾽ αὐτῶν καὶ πατούμενος, καὶ πληρούμενος ἀνεξαλείπτου αἰσχύνης, ὅθεν ᾄσμασι στέψωμεν τούτους βοῶντες, ἡμᾶς διασώσατε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἐγὼ εἰμὶ Ἁγνὴ φεῦ! Τὸ ἄκαρπον δένδρον, καὶ πῶς τῆς ἐκκοπῆς τῆς ἀξίνης ἐκφύγω, ἀνάστησον σῶσόν με τῆς δεινῆς κατακρίσεως, ἱκετεύουσα τὸν Σὸν Υἱὸν Θεοτόκε, μὴ ἐκπέμψαι με εἰς πῦρ ἀλλ᾽ ἄφεσιν δώη, ὡς μόνος φιλάνθρωπος.

*Μετὰ τὸν Πολυέλεον, καὶ τὴν ἐκλογὴν τῆς 26ης Ὀκτωβρίου (Ἁγ. Δημητρίου), κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Σήμερον ἅπαντες, οἱ τὸ Βραχώριον, οἰκοῦντες ᾄσμασι, πανηγυρίσωμεν, εὐχαριστοῦντες δὲ Θεόν, τὸν

δόντα ἡμῖν προστάτας, Λάμπρον καὶ Θεόδωρον, σὺν Ἑτέρῳ τοὺς Μάρτυρας, τοὺς καθαγιάσαντας, τῇ ἀθλήσει τὴν γῆν ἡμῶν, καὶ νῦν ὑπὲρ ἡμῶν δυσωποῦσι, πάντας τυχεῖν τῆς ἄνω πόλεως.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Μαρία Ἄχραντε, Ἁγνὴ Θεόνυμφε, ὡς προετύπουν σε, Προφῆται κράζομεν, χαῖρε λυχνία κιβωτέ, λαβὶς στάμνε ῥάβδε πλάκα, ὄρος ἀλατόμητον, κλῖμαξ γέφυρα ἄμπελε, πύλη βάτε ἄφλεκτε, Θεοτόκε Παντάνασσα, μετὰ δὲ Γαβριὴλ ἐκβοῶμέν Σοι· χαῖρε ἡ Κεχαριτωμένη

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον, τὸ τοῦ ὄρθρου τῆς 26ης Ὀκτωβρίου (Ἁγ. Δημητρίου).

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Ταῖς τῶν Ἀθλοφόρων…*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου…*

Ἰδιόμελον. Ἦχος πλ. Β΄. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός…*

Δεῦτε φιλομάρτυρες σήμερον ἐν ᾠδαῖς ᾀσμάτων τοὺς Ἀθλοφόρους καταστέφωμεν, οὗτοι γὰρ τῆς Τριάδος ἰσάριθμοι ὄντες καὶ λατρευταί, καὶ ἐν τρισὶ σημείοις τῆς τοῦ Βραχωρίου πόλεως κρεμασθέντες

ὑπὲρ αὐτῆς, τὴν πόλιν ἀεὶ φρουροῦσιν, αὐτῶν καὶ ἡμεῖς τὰς εἰκόνας πίστει ἀσπαζόμενοι αὐτοῖς βοήσωμεν, ὡς ἔχοντες παῤῥησίαν πρὸς Τριάδα τὴν ἄκτιστον, Ἀθληταὶ γενναιότατοι, εἰρήνην τῇ οἰκουμένῃ παρ’ Αὐτῆς ἐξαιτεῖτε καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ὁ Κανὼν τῆς Θεοτόκου (Μικρὸς Παρακλητικὸς Κανὼν) εἰς στ΄· καὶ τῶν Ἁγίων εἰς η΄, οὗ ἡ ἀκροστιχίς: *Τοὺς Σοὺς Χριστὲ Ἁγίους ᾄδω. Ἀποστόλου.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Τριὰς ἡ κροτοῦσα νεύσει τὸ πᾶν, λιταῖς τῶν σεπτῶν Σου Ἀθλοφόρων μοι φωτισμόν, παράσχου καὶ λόγον τοῦ ὑμνῆσαι, τὰ κατ’ ἐχθρῶν τούτων θεῖα παλαίσματα.

Ὁ θεῖος Θεόδωρος καὶ κλεινός, ὁ ἔνδοξος Λάμπρος σὺν Ἑτέρῳ ἐν οὐρανοῖς, χεὶρ τοῦ Χριστοῦ στεφανωθέντες, ὑπὲρ ἡμῶν ἀκοιμήτως πρεσβεύουσιν.

Ὑμεῖς πυργοὶ ἄσειστοι Ἀθληταί, καὶ ἄῤῥηκτον τεῖχος ἀνεδείχθητε τῶν πιστῶν, Χριστὸν τὸν Θεὸν μὴ ἀρνηθέντες, ὡς ναοὶ ἔμψυχοι ὄντες τοῦ Πνεύματος.

*Θεοτοκίον.*

Σὸν Κτίστην τεκοῦσα ὑπερφυῶς, Χριστὸν ὄντα Κόρη ὁμοούσιον τῷ Πατρί, καὶ Πνεύματι ἅμα διὸ πάντες, Σὲ Θεοτόκον ἀεὶ μακαρίζομεν.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψίδος.*

Συνελθόντες προθύμως πάντες πιστοὶ σήμερον, Λάμπρον σὺν τῷ Ἄλλῳ τιμήσωμεν καὶ Θεόδωρον, τοὺς ἐκ τῆς Πέλοπος, μὲν ἐξορμήσαντας νήσου, καὶ ἐν Βραχωρίῳ δὲ ἀθλήσει λάμψαντας.

Ὁδοιπόροι ὑπάρχοντες εὐσεβεῖς ἔμποροι, καὶ ἐκ Βραχωρίου τῆς πόλεως διερχόμενοι, Χριστὸς ἐκάλεσεν, ἐκ γῆς ὑμᾶς διαβῆναι, πρὸς τὴν ἐπουράνιον λῆξιν μακάριοι.

Ὑπὲρ γένος πατρίδα πλοῦτον τιμὴν Μάρτυρες, ἐν εἰλικρινεῖ διαθέσει Χριστὸν ἠράσθητε, ὅθεν καλούμενοι, Αὐτὸν ἀρνεῖσθαι τυράννοις, ἔφατ’ οὐκ ἀρνούμεθα κἄν ἀποθάνωμεν.

*Θεοτοκίον.*

Στάμνον ῥάβδον καὶ πλάκα καὶ κιβωτὸν πάγχρυσον, ὄρος ἀλατόμητον Κόρη καὶ θείαν Τράπεζαν, πάντες ἐκήρυξαν, οἱ θεηγόροι Προφῆται, τὴν φρικτὴν λοχείαν Σου προσυμβολίζοντες.

*Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Ἑορτάζει σήμερον, σὺν Βραχωρίῳ, Ἐκκλησία ἅπασα, μνήμην Μαρτύρων Σου Χριστέ, καὶ εὐφροσύνως κραυγάζει Σοι· σῶσον Οἰκτίρμον, τὸν κόσμον εὐχαῖς αὐτῶν.

*Δόξα. Ἦχος πλ. Δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*

Ἐκ τῆς Πέλοπος νήσου ὥσπερ χρυσός, ἀπαστράψαντες Μάρτυρες τοῦ Χριστοῦ, ὡς ἔμποροι ἄριστοι τὸν χρυσὸν ἐβδελύξασθε, καὶ Χριστὸν

θησαυρὸν τὸν ἀεὶ διαμένοντα, ἐν καρδίᾳ φυλάξαντες ἐχθροῖς οὐκ ἐδώκατε, ὅθεν λαμπρυνθέντες, ὡς χρυσὸς ἐν βασάνοις, χρυσοῦ τηλαυγέστεροι ἐν τοῖς πέρασιν ὤφθητε, Ἀθληταὶ γενναιότατοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, ἀπὸ βρέφους μολύνας ὁ μιαρός, καὶ λόγοις καὶ πράξεσιν, ἐμαυτὸν κατεῤῥύπωσα, καὶ οὐχ ἔχω τὶ πρᾶξαι, οὐδὲ καταφύγιον, ἀλλ' οὐδ' ἄλλην ἐλπίδα, πλὴν Σου Κόρη ἐπίσταμαι. Φεῦ μοι τῷ ἀχρείῳ! Διὰ τοῦτο ἱκέτης, πρὸς Σὲ τὴν Πανάχραντον, νῦν προστρέχω καὶ δέομαι, ὁμολογῶν Σοι τὸ ἥμαρτον. Πρέσβευε τῷ Σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, εἰς Σὲ πᾶσαν ἐλπίδα ἀνέθηκα Δέσποινα

*ᾨδὴ δ΄. Σύ μου ἰσχύς.*

Χάριν ὑμῖν Χριστὸς μακάριος ἔδωκε, τοῦ νομίζειν ὄναρ ὡς βραχύτατον τοὺς αἰκισμοὺς καὶ τὰς φυλακάς, μᾶλλον δὲ τὴν ἄνω προσβλέπειν μακαριότητα, ἐν ᾗ χοροβατοῦντες τῷ Δεσπότῃ βοᾶτε, τῇ δυνάμει Σου δόξα Φιλάνθρωπε.

Ῥῶσιν ἡμῖν ἀῤῥωστημάτων παρέχετε σὺν Ἑτέρῳ Λάμπρε καὶ Θεόδωρε, τοὺς διαθέσει εἰλικρινεῖ, καὶ πίστει βεβαίᾳ πρὸς τὸν ναὸν ὑμῶν σπεύδοντας, διὸ ὑμᾶς ὡς ῥύστας κεκτημένοι βοῶμεν τῷ Παντάνακτι, δόξα Φιλάνθρωπε.

Ἴσον Πατρὶ Χριστὸν φρονοῦντες καὶ Πνεύματι, τῆς Τριάδος ὤφθητε ὑπέρμαχοι, θεομακάριστοι Ἀθληταί, καὶ τῆς Ἐκκλησίας τριπλόν τε τεῖχος καὶ ἄῤῥηκτον, τυράννων καθαιρέται, τῷ Χριστῷ μὴ βοώντων, τῇ δυνάμει Σου δόξα Φιλάνθρωπε.

*Θεοτοκίον.*

Σὺ τῶν βροτῶν καύχημα πέλεις Πανύμνητε, ἐκ μὲν πρώτης Δέσποινα Θεόνυμφε γὰρ γυναικός, πᾶν φαῦλον ἐκῤῥύει, διὰ Σοῦ δὲ Κόρη ἡμῖν πηγάζει τὰ κρείττονα, διὸ ὡς ἀναιρέτην τῆς κατάρας τῆς Εὔας, εὐγνωμόνως τὸ χαῖρέ Σοι κράζομεν.

*ᾨδὴ ε΄. Ἵνα τι μὲ ἀπώσω.*

Τοῦ Χριστοῦ τῇ παλάμῃ, ἔνδοξοι φρουρούμενοι πανευκλεέστατοι, ἐν εἱρκτῇ γὰρ ὄντες, καὶ βασάνοις ποικίλαις κυκλούμενοι, τὸν ὑμᾶς ἐν τούτοις δεινὸν ἐχθρὸν παραδιδόντα, εἰς νεκάδας τοῦ Ἅδου ἐῤῥίψατε.

Εἰ καὶ ἐν ἀλγηδόνι, πείνῃ τε καὶ δίψῃ ὑπάρχοντες Ἅγιοι, τῆς ζωῆς τὸν ἄρτον, καὶ τὸ ὕδωρ τὸ ζῶν οὐκ ἠρνήσασθε, ἐν ἀθανασίᾳ καὶ νῦν τρυφῶντες θείου Ἄρτου, καὶ ἡμᾶς χορτασθῆναι πρεσβεύσατε.

Ἀδιστάκτῳ οὖν γνώμῃ, ἔχοντες εἰς νοῦν ὑμῶν Προφήτου πρόῤῥησιν , Λάμπρε εἰς λειμῶνα σὺν Ἑτέρῳ καὶ Θεόδωρε ἤχθητε, δίκαιοι φησί γαρ, εἰ καὶ κτανθῶσιν ἀεὶ ζῶσιν, αἰωνίως Χριστῷ δοξαζόμενοι.

*Θεοτοκίον.*

Γῆ ἁγία εἶ Κόρη, γεωργὸν γὰρ Χριστὸν σαρκὶ ἐγεώργησας, Ὅς ἀγεωργήτως ἐν Σῇ μήτρᾳ ὑπέδυ ἐν

Πνεύματι, διὸ τὴν χερσωθεῖσαν, ἀμέτροις πταίσμασι ψυχήν μου, τῇ θερμῇ σου πρεσβείᾳ γεώργησον.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἰδὸν ὑμῶν, τῆς ψυχῆς τὸ ὡραῖον, ἀνεπαύθη ἐν ὑμῖν Θεῖον Πνεῦμα, καὶ τῆς σεπτῆς, καὶ Ἁγίας Τριάδος, ναοὺς ἐμψύχους ὑμᾶς ἀπειργάσατο, καὶ νῦν ὑμᾶς ἐν τῷ ναῷ, τῷ ἡμετέρῳ προστρέχοντες σώσατε.

Ὁμόψυχοι, ὥσπερ εἷς θεῖε Λάμπρε, καὶ Θεόδωρε σὺν Τρίτῳ ὀφθέντες, καὶ νῦν ἡμᾶς, ὁμοφρόνους τῇ πίστει, καὶ ἀβλαβεῖς ἐξ αἱρεσεων δείξατε, καὶ κάλλος ἡμᾶς τοῦ Χριστοῦ, ἀεὶ βλέπειν σοφοὶ ἀξιώσατε.

Ὑάκινθοι, ὥσπερ λίθοι γενναῖοι, ἐκυλίεσθε ἐν γῇ δεδεμένοι, καὶ τῇ ὑμῶν, καρτερίᾳ τὸν ὄφιν, δεσμοῖς ἀλύτοις λυσσῶντα ἐδέσατε, ἐνεύρου γὰρ ὑμᾶς Χριστός, μιμούμενος τὰ πάθη ὁρῶν Αὐτοῦ.

*Θεοτοκίον.*

Σεσάρκωται, ἐξ ἁγνῶν Σου αἱμάτων, ὁ Σὸς Κτίστης ἀποῤῥήτως Παρθένε, διὸ οἱ Σὲ Θεοτόκον μὴ γνόντες, ὥσπερ κηρὸς ἐν τῇ γῇ ἐκτακήσομαι, ἐκλείψουσι δὲ ὡς καπνός, καὶ εἰς Ἅδου δεσμῶται ῥιφθήσονται.

*Κοντάκιον. Ἦχος πλ. Δ΄. Τῇ Ὑπερμάχῳ.*

Τοὺς Βραχωρίου, βοηθοὺς καὶ ἀντιλήπτορας, τοὺς τῇ ἀθλήσει, αὐτῶν τοῦτο ἁγιάσαντας, πίστει ἅπαντες συνέλθωμεν ἐκβοῶντες· ὡς τυχόντες παῤῥησίας πρὸς τὸν Κύριον, ἐξ αἱρέσεων καὶ νόσων ἡμᾶς ῥύσασθε ἵνα κράζωμεν· θεῖοι Μάρτυρες χαίρετε.

*Ὁ Οἶκος.*

Ἄγγελοι ἀοράτως ᾄδουσί σοι ἀπαύστως σὺν Μάρτυσι Χριστὲ Παντοκράτωρ. Καὶ νῦν ὡς Θεὸν Λόγον ἐπὶ γῆς τοὺς κηρύξαντάς Σε τὸν Χριστόν, Κύριε, ὁπλίτας Σου, ὑμνοῦμεν ἐκβοῶντες πρὸς αὐτοὺς τοιαῦτα·

Χαίρετε, δι' ὧν ὁ Χριστὸς ἐκηρύχθη·
χαίρετε, δι' ὧν ὁ ἐχθρὸς ἐπατήθη.
Χαίρετε, τὸν κόσμον τοῖς ἄθλοις φωτίσαντες·
χαίρετε, ἐν σκότει τὸν βελίαρ βυθίσαντες.
Χαίρετε, πάντων ἀπροσμάχητοι Ὀρθοδόξων οἱ φρουροί·
χαίρετε, πᾶσαν οἱ διώκοντες τῶν αἱρέσων ἀχλύν.
Χαίρετε, ὑπ' ἀδίκων τῶν κριτῶν δικασθέντες·
χαίρετε, ὑπὸ δικαίου τοῦ Κριτοῦ οἱ στεφθέντες.
Χαίρετε, Χριστὸν τῇ ἀγχόνῃ δοξάσαντες·
χαίρετε, ἀεὶ μετ' Αὐτοῦ συνδοξαζόμενοι.
Χαίρετε, κλεινοὶ Βραχωρίου προστάται·
χαίρετε, ταχινοὶ πασῶν νόσων διῶκται.
Θεῖοι Μάρτυρες χαίρετε.

*Συναξάριον.*

Τῇ 2ᾳ τοῦ αὐτοῦ μηνός, μνήμη τῶν Ἁγίων καὶ ἐνδόξων Νεομαρτύρων Θεοδώρου, Λάμπρου καὶ Ἑτέρου Ἀγνώστου, ὑπὸ τῶν Ἀγαρηνῶν ἐν Βραχωρίῳ ἀπαγχονισθέντων ἐν ἔτει αψπς (1786).

*Στίχοι:*

*Θεόδωρος σὺν Ἄλλῳ καὶ Λάμπρος δι' ἀγχόνης,*

*ἐκ γῆς ἀρθέντες πρὸς πόλον Χριστῷ ζῶσιν.*

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἀντιθέων τυράννων ἀθετοῦντες προστάγματα, ὡς θυσίαι Θεῷ προσήχθητε δημίοις, τραχήλους ἡμῶν δόντες, Ἀθληταὶ σεπτοὶ ψάλλοντες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Διὰ φόβου ἀγχόνης ἐπειρᾶτο συλῆσαι ἐχθρὸς ὑμᾶς, αλλ' ἰδοὺ ἡττήθη τῇ ἀνδρείᾳ, ἐπνίγη ἐν ἀγχόνῃ, ὑμᾶς βλέπων ὁ δόλιος, Λάμπρε σὺν Ἄλλῳ σοφῷ, Θεόδωρε γενναῖε.

Ὢ δεινὸν Ἄγαρ γένος, τί πρὸς κέντρον λακτίζεις Χριστόν, φασὶν οἱ σοφοί, λυσσῶντες δὲ πατεῖτε, Χριστὸν ζωῆς τὴν πέτραν, μὴ εἰδόντες τὶ πράσσετε, γέγραπται γάρ, πᾶς αὐτὸν διώκων ἀπολεῖται.

*Θεοτοκίον.*

Ἀδιόδευτον πύλην προετύπου σε πάλαι Προφήτης Πάναγνε, ἀφράστως ὡς εἰσῆλθεν, οὕτω γὰρ καὶ ἐξῆλθεν ὁ Θεὸς Ἁγνὴν δείξας Σε, διὸ ὡς πύλην Εδέμ, Παρθένε Σὲ ὑμνοῦμεν.

*ᾨδὴ η΄. Ἑπταπλασίως κάμινον.*

Πῶς ἐξειπεῖν δυνήσομαι τὰ δεινὰ ὑμῶν Ἅγιοι, σῦν ταῖς φυλακαῖς, τοὺς αἰκισμοὺς τὴν πεῖνάν τε, τὴν δίψαν τὸν ἄδικον δι' ἀγχόνης θάνατον, ἀλλ' ἀδυνατῶν, νῦν ταῦτα ἔνδοξα κράζω Χριστῷ τῷ Ζωοδότῃ, σὺν ὑμῖν ὁμοφώνως, ἀεὶ ὑπερυψοῦμεν, Λόγε εἰς αἰῶνας.

Ὅλῃ ψυχῇ ποθήσαντες τὸν Χριστὸν ἀξιάγαστοι, ὡς ἐν ἀλλοτρίῳ ἐν τῷ πάσχειν σώματι, βασάνοις εἶναι νομίζοντες, πόνους πολλοὺς ὑπέστητε, διὸ ἀγαλλιάσει ψυχικῇ, θεῖε Λάμπρε σὺν Ἄλλῳ Ἀνωνύμῳ Θεοδώρῳ τῷ πάνυ Χριστόν, ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

*Τριαδικόν.*

Σῶσον ἡμᾶς Φιλάνθρωπε, ὀρθοδόξως λατρεύοντας, Σὲ τὸν ἑνικὸν καὶ τριλαμπῆ Θεὸν ἡμῶν, τὸν Ἕνα τῇ φύσει μέν, Τριαδικὸν προσώποις δε, σὺν τοῖς ἰσαρίθμοις Ἀθληταῖς καὶ παισὶ Σὲ αἰνοῦμεν, εὐλογοῦμεν προσκυνοῦμεν ὑμνοῦμεν, ἀεὶ δοξολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Τὸν Σὸν Υἱὸν Πανάμωμε τὸν διπλοῦν ἐν ταῖς φύσεσι, καὶ ταῖς ἐνεργείαις, αἵ εἰς ἕν τὸ πρόσωπον, ἀεὶ ἐνυπάρχουσι, μετὰ τὴν σὴν σύλληψιν, δυσώπει οὖν αυτόν, λυτρῶσαι πάντας πταισμάτων, τοὺς Σὲ Θεοτόκον καὶ Θεάνθρωπον τοῦτον, ἀεὶ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

*ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Οἱ ὄντως φίλοι γνήσιοι τοῦ Χριστοῦ, ὡς κακοῦργοι ὁρῶντες κρεμάμενοι ἀνηλεῶς, ὑπὸ τῶν ἀπίστων Ἀγαρηνῶν, νῦν δὲ Θεῷ παρίστανται, φέροντες Σταυρὸν εἰς τὴν δεξιάν, ὄργανον μαρτυρίου, εἰς χεῖρα ἄλλην στέφος, εἰς κεφαλὴν βραβεῖα ἄφθαρτα.

Λιπόντες τὸ ἱμάτιον τὸ φθαρτόν, ἀφθαρσίας ἱμάτιον φέρετε, ἐν οὐρανοῖς, λάμποντες Τριάδος ταῖς

ἀστραπαῖς, βλέποντες οὖν πρὸς πρόσωπον, πρόσωπον τὸν Ὄντα διηνεκῶς, Αὐτῷ στεῤῥοὶ ὁπλῖται, αἰτεῖτε τοῦ σωθῆναι, ἡμᾶς δεινῶν τε καὶ αἱρέσεων.

Ὁλόφωτον οἰκοῦντες ὡς ἀληθῶς, θεῖε Λάμπρε οὐράνιον θάλαμον θεοστεφῆ, Θεόδωρε σὺν Ἄλλῳ τε Ἀθλητῇ, τοὺς Βραχωρίῳ ὄντας νῦν, σὺν τοῖς περιχώροις διὰ παντός, καὶ πᾶσαν Αἰτωλίαν, ἅπαντά τε τὸν κόσμον, ὡς συμπαθεῖς φρουροὶ φρουρήσατε.

*Θεοτοκίον.*

Ὑμνοῦντες τὸν Σωτῆρα ἐν οὐρανοῖς, σὺν Ἀγγέλοις Προδρόμῳ καὶ Μάρτυσι, σὺν Ἀσκηταῖς, Ἀποστόλοις ἅμα ἐγκρατευταῖς, σὺν τοῖς Προφήταις πᾶσι τε, καὶ πανευκλεέσι ταῖς γυναιξί, μετὰ τῆς Θεοτόκου, Χριστὸν αἰτεῖτε σῶσαι, τοὺς ἀνυμνοῦντας ὑμᾶς Ἅγιοι.

*Ἐξαποστειλάριον.*

*Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.*

Ἀγάλλου τὸ Βραχώριον, Αἰτωλία εὐφραίνου, ἡ φωτοφόρος μνήμη γάρ, τῶν Μαρτύρων ἐπέστη, Λάμπρου σὺν Ἄλλῳ τῷ θείῳ, καὶ σεπτοῦ Θεοδώρου, οὗτοι Χριστῷ πρεσβεύουσι λυτρωθῆναι, πταισμάτων ἡμᾶς δεινῶν, νόσων καὶ αἱρέσεων ψυχοφθόρων, τῷ κόσμῳ τε δωρήσασθαι, ὡς Θεὸς τὴν εἰρήνην.

*Θεοτοκίον.*

Δέσποινα πάντων Ἄνασσα, πρόφθασον ἐν κινδύνοις, πρόφθασον ἐν ταῖς θλίψεσι, πάρεσο ἐν ἀνάγκαις, τῆς τελευταίας ἡμέρας, μὴ σατὰν ἡμᾶς λάβῃ, μὴ Ἅδης μὴ ἀπώλεια, βήματι τοῦ Υἱοῦ Σου, τῷ

φοβερῷ, ἀνευθύνους ἅπαντας παραστῆναι, ὦ Θεομῆτορ Δέσποινα, ποίησον σαῖς πρεσβείαις.

*Αἶνοι. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.*

Πανεύφημοι Μάρτυρες ὑμᾶς, οὐ τυράννων φρύαγμα, τῆς τοῦ Χριστοῦ ἀγαπήσεως, χωρίσαι ἴσχυσεν, φυλακαὶ οὐδόλως, οὐ λιμὸς οὐ βάσανοι, τὸν νοῦν ὑμῶν σαλεῦσαι οὐκ ἴσχυσαν, Χριστὸν προσβλέποντας, ᾧ πρεσβεύατε δεόμεθα, δωρηθῆναι πᾶσι θεῖον ἔλεος.

Θεόδωρε θείων δωρεῶν, ἀληθῶς ἐπώνυμε, σὺν Ἄλλῳ χάριν μοι δώρησαι, τοῦ Θείου Πνεύματος, Λάμπρε λαμπροφόρε, τῆς λαμπρᾶς ἐπώνυμε, καὶ θείας τοῦ Χριστοῦ Ἀναστάσεως, βυθοῦ ἀνάστησον, ἀπωλείαις ταῖς πρεσβείαις σου, καὶ λαμπρόν με δεῖξον, θείαις πράξεσι.

Τυράννων ὠμότητα δεινῶν, ὅλως οὐκ ἐπτήξατε, ὅθεν ὁ εἷς πρὸς τὸν ἕτερον, στηρίζων ἔλεγε, καλῶς στῶμεν ἄχρι τὸ πικρὸν ποτήριον, θανάτου ὡς ὁ Κύριος ἔπιεν, ἐμφρόνως πίωμεν, ἵν’ Αὐτῷ συμβασιλεύσωμεν, τῷ τοῖς πᾶσι παρέχοντι ἔλεος.

Εὐφράνθητι σήμερον σεπτή, Ἐκκλησία βλέπουσα, τὰ γνησιώτατα τέκνα σου, καθυπομένοντα, τὴν πικρὰν ἀγχόνην, θάνατόν τε ἄτιμον, θεσμοὺς γὰρ αἰωνίους φυλάξαντα, κυσὶ μὴ δώσαντα, Σῷ Νυμφίῳ νῦν πρεσβεύουσι, καταπέμψαι Σοὶ τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. Β΄.*

Ὅτε ἡ ἐν Ἑλλάδι Ἐκκλησία τοῦ Χριστοῦ ὑπὸ Ἀγαρηνῶν γένους ἐλυμαίνετο, τότε οἱ τοῦ Χριστοῦ τρεῖς Αθλοφόροι, ὡς οἱ πάλαι τρεῖς παῖδες Ἑβραίων τοὺς Χαλδαίους, τούτους θαρσαλέως διήλεγξαν, καὶ ὡς μὲν οἱ παῖδες ἀβλαβεῖς διεσώθησαν τῆς καμίνου, οὕτω καὶ οἱ Μάρτυρες ἀλώβητοι τῶν παγίδων τοῦ ἐχθροῦ ἐξῆλθον. Ἐκείνους μὲν ἡ πρὸς Θεὸν πίστις ἐκ τοῦ παμφάγου πυρὸς ἐῤῥύσατο, τούτους δὲ ἡ τοῦ Χριστοῦ θεῖα χάρις τοῦ αἰωνίου πυρὸς ἀμετόχους ἐποίησε. Διὸ νῦν ὡς βασιλείας οὐρανίου πιστῶς ἐκβοήσωμεν· Προστάται ἡμῶν καὶ φρουροὶ ἀπροσμάχητοι, ἀεὶ τῇ Τριάδι παρεστῶτες, πρεσβεύσατε διηνεκῶς σωθῆναι δεινῶν καὶ αἱρέσεων τὴν πόλιν ἡμῶν, καὶ πᾶσι δοθῆναι τὴν αἰώνιον ζωήν, καὶ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Θεοτόκε, Σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, Σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα μετὰ τῶν Ἀθλοφόρων καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

*Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τῶν Κανόνων τῶν Ἁγίων ἡ γ΄ καὶ στ΄ ᾠδή.*

*Ἀπόστολος· πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (Κεφ. Στ΄, 10-17).*

*Εὐαγγέλιον 26ης Ὀκτωβρίου.*

Κοινωνικόν: *Εἰς μνημόσυνον…*

*Μεγαλυνάριον.*

Δεῦτε τῆς Τριάδος τοὺς λατρευτάς, καὶ πασῶν τῶν νόσων καὶ δαιμόνων φυγαδευτάς, φρουρούς τε Ὀρθοδόξων, Θεόδωρον σὺν Ἄλλῳ, καὶ Λάμπρον κατὰ χρέος πάντες τιμήσωμεν.

